λείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν
πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν ἀλλὰ μὴ πρὸς ἀμφο-
τέρας ἅμα τὰς δυνάμεις | κινδυνεύσωσιν· ὑπεκθέμενοι [Isocr. IV 96
δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνή- 34
θροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. οὐ πολ-
λαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ
τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς οὐκ ἂν ἰδὼν ἐφο-
βήθη, ὡς μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ
τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώ- 35
μην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις,
οὔσης καὶ τῆς αὑτῶν σωτηρίας ἀπίστου καὶ τοῦ προσι-
όντος κινδύνου, ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς
φιλότητος, ὑπὲρ τῶν ἄθλων τῶν ἐν Σαλαμῖνι; οἷς τοσοῦ- 36
τον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε
ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸ
θάνατον τὸν αὑτῶν προειδέναι, μεγίστην δὲ συμφοράν,
⟨ἃ⟩ ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέν-
τας ἤλπιζον πείσεσθαι. ἦ που διὰ τὴν ὑπάρχουσαν ἀπο- 37
ρίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ
σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς
ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων,
ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ [Isocr. IV 96
χώραν πορθουμένην καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν
δὲ καομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν,
ἀκούοντες δ' ἐν ταὐτῷ συμμεμειγμένου Ἑλληνικοῦ καὶ 38
βαρβαρικοῦ παιῶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων καὶ
κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης με- [Isocr. IV 97
στῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φι-
λίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρό-
νον οὔσης τῆς ναυμαχίας δοκοῦντες τοτὲ μὲν νενικηκέναι
καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. ἦ που 39